ματος χαλεποῦ καὶ χιόνος, οὕτως ἐγένοντο διὰ τὸν πάγον σκληραὶ καὶ ξυλώδεις αἱ χλαμύδες, ὥς καὶ θραύεσθαι διατεινομένας καὶ ῥήγνυσθαι. ποιεῖ δὲ καὶ νεῦρα δυσκαμπῆ καὶ γλῶτταν ἄναυδον ἀκινησίᾳ καὶ σκληρότητι τὸ ἄγαν ψῦχος, ἐκπηγνύον τὰ ὑγρὰ καὶ μαλακὰ τοῦ σώματος.

19. Ὧν βλεπομένων, σκόπει τὸ γιγνόμενον οὕτω· πᾶσα
δήπου δύναμις, ἂν περιγένηται, πέφυκε μεταβάλλειν καὶ
τρέπειν εἰς ἑαυτὴν τὸ νικώμενον· τὸ μὲν γὰρ ὑπὸ θερμοῦ
κρατηθὲν ἐκπυροῦται, τὸ δ᾽ ὑπὸ πνεύματος ἐξαεροῦται,
τὸ δ᾽ εἰς ὕδωρ ἐμπεσόν, ἂν μὴ διαφύγῃ, καθυγραίνεται
συνδιαχεόμενον. ἀνάγκη δὴ καὶ τὰ ψυχόμενα κομιδῇ με- E
ταβάλλειν εἰς τὸ πρώτως ψυχρόν· ἔστι δ᾽ ὑπερβολὴ ψύ-
ξεως πῆξις, πῆξις δ᾽ εἰς ἀγνωσίαν τελευτᾷ καὶ λίθωσιν, □
ὅταν, παντάπασι τοῦ ψυχροῦ κρατήσαντος, ἐκπαγῇ μὲν
τὸ ὑγρὸν ἐκθλιβῇ δὲ τὸ θερμόν. ὅθεν ἡ μὲν ἐν βάθει
γῆ πάγος ἐστὶν ὡς εἰπεῖν καὶ κρύσταλλος ἅπασα· τὸ γὰρ
ψυχρὸν ἄκρατον οἰκουρεῖ καὶ ἀμάλακτον ἀπεωσμένον ἐκεῖ
τοῦ αἰθέρος ἀπωτάτω· ταυτὶ δὲ τὰ ἐμφανῆ, κρημνοὺς
καὶ σκοπέλους καὶ πέτρας, Ἐμπεδοκλῆς (A 69) μὲν ὑπὸ
τοῦ πυρὸς οἴεται τοῦ ἐν βάθει τῆς γῆς ἑστάναι καὶ ἀν-
έχεσθαι διερειδόμενα φλεγμαίνοντος· ἐμφαίνεται δὲ μᾶλ-
λον, ὅσων τὸ θερμὸν ἐξεθλίβη καὶ διέπτατο, πάντα ταῦτα F
παντάπασιν ὑπὸ τῆς ψυχρότητος παγῆναι· διὸ καὶ πάγοι
καλοῦνται. καὶ τὰ ἄκρα πολλῶν ἐπιμελανθέντων, ᾗ τὸ
θερμὸν ἐξέπεσε, πυρικαύστοις ἰδεῖν προσέοικε· πήγνυσι
γὰρ τὸ ψυχρὸν τὰ μὲν μᾶλλον τὰ δ᾽ ἧττον, μάλιστα δ᾽ οἷς